ἐπένευσεν τοῦ ἀπελθεῖν καὶ εἶπεν πρὸς τὸν βασιλέα καὶ τοὺς ἡγε-
μόνας τῆς δυνάμεως καὶ τοὺς ἄνδρας Ἐκλείπομεν καθ᾽ ἡμέραν,
καὶ ἡ τροφὴ ἡμῖν ὀλίγη, καὶ ὁ τόπος οὗ παρεμβάλλομέν ἐστιν
ὀχυρός, καὶ ἐπίκειται ἡμῖν τὰ τῆς βασιλείας· [58]νῦν οὖν δῶμεν 58
δεξιὰς τοῖς ἀνθρώποις τούτοις καὶ ποιήσωμεν μετ᾽ αὐτῶν εἰρήνην
καὶ μετὰ παντὸς ἔθνους αὐτῶν [59]καὶ στήσωμεν αὐτοῖς τοῦ πορεύ- 59
εσθαι τοῖς νομίμοις αὐτῶν ὡς τὸ πρότερον· χάριν γὰρ τῶν νομί-
μων αὐτῶν, ὧν διεσκεδάσαμεν, ὠργίσθησαν καὶ ἐποίησαν ταῦτα
πάντα. [60]καὶ ἤρεσεν ὁ λόγος ἐναντίον τοῦ βασιλέως καὶ τῶν ἀρ- 60
χόντων, καὶ ἀπέστειλεν πρὸς αὐτοὺς εἰρηνεῦσαι, καὶ ἐπεδέξαντο.
[61]καὶ ὤμοσεν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες· ἐπὶ τούτοις ἐξ- 61
ῆλθον ἐκ τοῦ ὀχυρώματος. [62]καὶ εἰσῆλθεν ὁ βασιλεὺς εἰς ὄρος 62
Σιων καὶ εἶδεν τὸ ὀχύρωμα τοῦ τόπου καὶ ἠθέτησεν τὸν ὁρκισμόν,
ὃν ὤμοσεν, καὶ ἐνετείλατο καθελεῖν τὸ τεῖχος κυκλόθεν. [63]καὶ ἀπῆ- 63
ρεν κατὰ σπουδὴν καὶ ἀπέστρεψεν εἰς Ἀντιόχειαν καὶ εὗρεν Φίλιπ-
πον κυριεύοντα τῆς πόλεως καὶ ἐπολέμησεν πρὸς αὐτὸν καὶ κατ-
ελάβετο τὴν πόλιν βίᾳ.

[1]Ἔτους ἑνὸς καὶ πεντηκοστοῦ καὶ ἑκατοστοῦ ἐξῆλθεν Δημή- **7**
τριος ὁ τοῦ Σελεύκου ἐκ Ῥώμης καὶ ἀνέβη σὺν ἀνδράσιν ὀλίγοις
εἰς πόλιν παραθαλασσίαν καὶ ἐβασίλευσεν ἐκεῖ. [2]καὶ ἐγένετο ὡς 2
εἰσεπορεύετο εἰς οἶκον βασιλείας πατέρων αὐτοῦ, καὶ συνέλαβον
αἱ δυνάμεις τὸν Ἀντίοχον καὶ τὸν Λυσίαν ἀγαγεῖν αὐτοὺς αὐτῷ.
[3]καὶ ἐγνώσθη αὐτῷ τὸ πρᾶγμα, καὶ εἶπεν Μή μοι δείξητε τὰ πρόσ- 3
ωπα αὐτῶν. [4]καὶ ἀπέκτειναν αὐτοὺς αἱ δυνάμεις, καὶ ἐκάθισεν 4
Δημήτριος ἐπὶ θρόνου βασιλείας αὐτοῦ. [5]καὶ ἦλθον πρὸς αὐτὸν 5
πάντες ἄνδρες ἄνομοι καὶ ἀσεβεῖς ἐξ Ισραηλ, καὶ Ἄλκιμος ἡγεῖτο
αὐτῶν βουλόμενος ἱερατεύειν. [6]καὶ κατηγόρησαν τοῦ λαοῦ πρὸς 6
τὸν βασιλέα λέγοντες Ἀπώλεσεν Ιουδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ πάν-
τας τοὺς φίλους σου, καὶ ἡμᾶς ἐσκόρπισεν ἀπὸ τῆς γῆς ἡμῶν·
[7]νῦν οὖν ἀπόστειλον ἄνδρα, ᾧ πιστεύεις, καὶ πορευθεὶς ἰδέτω τὴν 7
ἐξολέθρευσιν πᾶσαν, ἣν ἐποίησεν ἡμῖν καὶ τῇ χώρᾳ τοῦ βασιλέως,

57 τους ανδρας] pr. προς ScL | οχυρος] ισχ. S†: cf. 4 60 || 58 δεξιας compl. Lap] -αν SA: cf. 11 50. 62. 66 13 45. 50 | μετ αυτων > S† || 59 στησομεν S | αυτοις] -τους S† || 60 επεδεξαντο] ν > A† || 61 ωμοσεν] ωμολογησεν S*† | επι τουτοις] + και pau. La: trahunt επι τουτ. ad praec.; pr. και unus cod. | εξηλθον] -θεν A† || 62 ορος] pr. το A | καθελειν SVLa†] και καθειλε(ν) (pau. -λον uel -λαν) rel. || 63 απηρεν] -ραν A

7 1 εξηλθεν] pr. και SV† | ο > S*† | συν ανδρ.] εν ανδρ. εν S*† | εις πολιν > S*† | παραθαλασσιαν] παρα θαλασσαν S*† || 2 εγεν.] επονειτο S*† | και 2⁰ LpLap] > SA pl. | συνελαβον] -βοντο S*† || 5 αλκιμος] -κισμος S† hoc tantum loco; ν pro μ A†: item A† in 12. 23, non reliquis locis; + ο και ιακιμος L: item L persaepe, cf. Ioseph. Ant. XII 385 Niese | ηγειτο(A† -ται) αυτων] + ηγουμενος S† || 6 εσκορπισεν] -σαν ScL || 7 πιστευσεις S*† | την εξολ. / πασαν] tr. S pau.